*καὶ τῶν φίλων ἐξαρκέσειν, περὶ δὲ τῶν στρατιωτῶν ἐμέμψατο· χαλεπὸν γὰρ εἶναι τὸν πόλεμον, εἰ μὲν δι᾽ ἀνδρείαν τῶν πολεμίων ἥττηνται τοσαυτάκις, ὅτι πρὸς τοιούτους, εἰ δὲ δι᾽ ἀνανδρίαν τῶν πολιτῶν, ὅτι μετὰ τοιούτων.*

16. *Ἐπεὶ δ᾽ ἐλθὼν εἰς τὸ στρατόπεδον πολλὴν ἀταξίαν καὶ ἀκολασίαν καὶ δεισιδαιμονίαν καὶ τρυφὴν κατέλαβε, μάντεις μὲν εὐθὺς ἐξήλασε καὶ θύτας καὶ πορνοβοσκούς, σκεύη δὲ προσέταξεν ἀποπέμπειν ἅπαντα πλὴν χύτρας, ὀβελίσκου καὶ ποτηρίου κεραμεοῦ· τῶν δ᾽ ἀργυρέων*
C *ἔκπωμα οὐ μεῖζον δύο λιτρῶν συνεχώρησε τοῖς βουλομένοις ἔχειν· λούεσθαι δ᾽ ἀπεῖπε, τῶν δ᾽ ἀλειφομένων τρίβειν ἕκαστον ἑαυτόν· τὰ γὰρ ὑποζύγια χεῖρας μὴ ἔχοντα ἑτέρου τρίψοντος δεῖσθαι· προσέταξε δ᾽ ἀριστᾶν μὲν ἑστῶτας ἄπυρον ὄψον, δειπνεῖν δὲ κατακειμένους ἄρτον ἢ πόλτον ἁπλῶς καὶ κρέας ὀπτὸν ἢ ἑφθόν· αὐτὸς δὲ σάγον ἐμπεπορπημένος μέλανα περιῄει, πενθεῖν τὴν τοῦ στρατεύματος αἰσχύνην λέγων.*

17. *Μεμμίου δέ τινος χιλιάρχου λαβὼν ὑποζύγια ψυκτῆρας διαλίθους παρακομίζοντα καὶ Θηρικλείους ‛ἐμοὶ μέν’ εἶπεν ‛ἡμέρας τριάκοντα καὶ τῇ πατρίδι,*
D *σαυτῷ δὲ τὸν βίον ἅπαντα τοιοῦτος ὢν ἄχρηστον πεποίηκας σεαυτόν.’*

18. *‛Ετέρου δὲ θυρεὸν ἐπιδείξαντος εὖ κεκοσμημένον ‛ὁ μὲν θυρεός,’ εἶπεν, ‛ὦ νεανία, καλός, πρέπει δὲ ‛Ρω-*